Ἥδιστόν ἐστ᾽ αὐτῶι γὰρ ἀνθρώπων ὁρᾶν
οὐδένα. Μεθ᾽ αὑτοῦ τὴν κόρην ἐργάζεται
ἔχων τὰ πολλά· προσλαλεῖ ταύτῃ μόνηι,
ἑτέρῳ δὲ τοῦτ᾽ οὐκ ἂν ποήσαι ῥαιδίως.
Τότε φησὶν ἐκδώσειν ἐκείνην ἡνίκ᾽ ἂν
ὁμότροπον αὐτῷ νυμφ⟨ί⟩ον λάβῃ. : (ΣΩ.) Λέγεις
οὐδέποτε. : (ΓΟ.) Μὴ δὴ πράγματ᾽, ὦ βέλτιστ᾽, ἔχε·
μάτην γὰρ ἕξεις· τοὺς δ᾽ ἀναγκαίους ἔα
ἡμᾶς φέρειν ταῦθ᾽, οἷς δίδωσιν ἡ τύχη. :
(ΣΩ.) Πρὸς τῶν θεῶν, οὐπώποτ᾽ ἠράσθης τινός,
μειράκιον; : (ΓΟ.) Οὐδ᾽ ἔξεστί μοι, βέλτιστε. :
(ΣΩ.) Πῶς;
Τίς ἔ⟨σ⟩θ᾽ ὁ κωλύων; : (ΓΟ.) Ὁ τῶν ὄντων κακῶν
λογισμὸς ἀνάπαυσιν διδοὺς οὐδ᾽ ἡντινοῦν. :
(ΣΩ.) Οὔ μοι δοκεῖς ἀπειρότερος γοῦν διατελεῖ⟨ν⟩
πε[ρὶ τ]αῦτ᾽. Ἀποστῆναι κελεύεις μ᾽· οὐκέτι
τοῦτ᾽ ἔσ]τιν ἐπ᾽ ἐμοί, τῷ θεῷ δέ. : (ΓΟ.) Τοιγαροῦν
οὐδὲ]ν ἀδικεῖς ἡμᾶς, μάτην δὲ κακοπαθεῖς. :
(ΣΩ.) Οὐκ ἂν λά]βοιμι τὴν κόρην; : (ΓΟ.) Οὐκ ἂν λάβοις.
......σ]υνα συν⟨α⟩κολουθήσας ἐμοὶ